www.tezaurliturgic.ro

Ἱλαρίωνος Μοναχοῦ

# Κανὼν εἰς τὸν Ἅγιον μεγαλομάρτυρα Προκόπιον

Ἦχος α'

Ἅγιον Ὄρος

2018

ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

# Κανὼν εἰς τὸν Ἅγιον μεγαλομάρτυρα Προκόπιον, οὗ ἡ ἀκροστιχίς, «Προκόπιον τὸν ἀθλητὴν ἀνυμνῶ», ἐν δὲ τοῖς θεοτοκίοις, «Ἱλαρίων Μ.», Ἦχος α΄.

*ᾨδὴ Α΄ Ὠιδὴν ἐπινίκιον.*

Προκόπιον ᾄσμασιν ἐφιεμένῳ, τὸν μέγαν ὑμνῆσαί μοι, χάριτί σου σθένωσον, τὴν γλῶτταν Χριστέ Σωτήρ, καὶ τῷ ἀρρήτῳ σου φωτί, τὸν νοῦν καταύγασον.

Ῥεόντων ἠλόγησας τῇ ἐμφανείᾳ, τῇ ἄνωθεν ἔνδοξε, καὶ θερμῶς ἐχώρησας, τῇ θείᾳ καὶ ἐκλεκτῇ, παρεμβολῇ τῶν ἀθλητῶν μάρτυς Προκόπιε.

Οὐράνιον ἤστραψέ σοι φῶς αὐγάζον, σταυροῦ ὁμοιώματι, τὴν ψυχήν σου ἅγιε, σκοτίας τῆς ζοφερᾶς, ἐξαίρων σε εἰδωλικῆς καὶ ματαιόφρονος.

*Θεοτοκίον.*

Ἰδεῖν καταξίωσόν με Παναγία, ἀφάτῳ ἐλέει σου, πρίν με τὸν ταλαίπωρον, προφθάσῃ ὁ χωρισμός, τῆς παμβεβήλου μου ψυχῆς, φῶς μεταγνώσεως.

*Ὠιδὴ Γ΄ Στερεωθήτω.*

Κλῆσιν φερώνυμον τῶν ἔργων σου, στεφηφόρε ἄνωθεν εἴληφας, ἐνστερνισάμενος θερμῶς, τοῦ Χριστοῦ πίστιν ἔνδοξε, καὶ βασάνοις τὸ πολύαθλον, ἐκδοὺς μάκαρ σῶμά σου.

Ὅλῳ τῷ σώματι ξεόμενος, τῷ Δεσπότῃ μάρτυς ἀνέκραζες, οὐδὲν χωρίσει με τῆς σῆς, ἀγαπήσεως Κύριε, ἀλλὰ πίστει τῇ ἀμώμῳ σου, τὸν νοῦν μου στερέωσον.

Προκόπτων ἔνδοξε Προκόπιε, πρὸς Χριστοῦ τῷ πόθῳ προσήγαγες, χορείαν θείων ἀθλητῶν, τῷ Δεσπότῃ καὶ κτίστῃ σου, ἐπαλείφων τοῖς ἐνθέοις σου, λογίοις τρισόλβιε.

*Θεοτοκίον.*

Λῦσον Παρθένε τὴν σκοτόμαιναν, τῆς πεπωρωμένης καρδίας μου, καὶ πρὸς τὸ φῶς τῶν ἐντολῶν, τῶν ἐνθέων κατεύθυνον, ἡ τὸ φῶς ἀποκυήσασα, Ἁγνὴ τὸ ἀνέσπερον.

*Ὠιδὴ Δ΄ Ὄρος σε τῇ χάριτι.*

Ἴαμα σωτήριον Προκόπιε γέγονας, σωμάτων ἅμα καὶ ψυχῶν, τοῖς προσιοῦσί σοι πιστῶς, Χριστὸν τὸν φιλάνθρωπον, ὡς κεκτημένος τὸν μέγαν ἀκέστορα, ἐν τῇ ψυχῇ σου ἀπρὶξ παναοίδιμε.

Ὅλην σου τὴν ἔφεσιν ὡς ἔχων πρὸς Κύριον, ἀγαλλομένῃ τῇ ψυχῇ, προσέδραμες ἅγιε, πρὸς ἔνθεα σκάμματα, ἀνδρειοφρόνως, τυράννων ὠμότητα, καταπατήσας θεόφρον Προκόπιε.

Νίκης ἐφιέμενος πανσόφως ἠλόγησας, ἐπικειμένων αἰκισμῶν, τὰς ἀφορήτους προσβολάς, καὶ ξέσεις τοῦ σώματος, καὶ ὀβελῶν ὀδύνην ἀμύθητον, στεφανηφόρων ἀγλάϊσμα ἔνθεον.

*Θεοτοκίον.*

Ἄπαντα τὸν βίον μου ἀφρόνως ἠνάλωσα, ἐν ἐργασίαις πονηραῖς, ὁ πάντολμος Δέσποινα, πωρώσεως δέομαι, τῆς κατεχούσης με τάχει ἐκλύτρωσαι, καὶ μεταγνώσεως τρίβῳ με ἴθυνον.

*Ὠιδὴ Ε΄ Ὁ φωτίσας τῇ ἐλλάμψει.*

Τὴν τεκοῦσάν σε τρισμάκαρ προσελκύσας καὶ ταύτην Χριστῷ, προσαρμώσας ἀγαλλόμενος, μέλπων ἀνέκραζες, ἡ εἰρήνη σὺ Χριστέ Σωτήρ, ὑπάρχεις τῶν ἀνθρώπων ὡς ἀγαθὸς καὶ φιλάνθρωπος.

Ὁπλιτῶν ἐσμὸν προσῆξας, πανευπρόσδεκτον μάρτυς Θεῷ, ὡς θυμίαμα εὐῶδες, ἀλεῖπτα Προκόπιε, τῇ ἀκαταβλήτῳ καὶ

στερρᾷ ἐνστάσει σου θεόφρον, ἐν ταῖς βασάνοις ὁρώμενος.

Νυσσομένων τῶν μελῶν σου, σιδηρίοις ὀργάνοις πικρῶς, ἐφοινίχθης ἀθλοφόρε κρουνοῖς τῶν αἱμάτων σου, καὶ ἐν τῷ σταδίῳ ἀνδρικῶς, τῷ σῷ ἀγωνοθέτῃ, τὸν νοῦν ἀνεῖχες Προκόπιε.

*Θεοτοκίον.*

Ῥήσεις Κόρη τὸν σὸν τόκον, προδιέγραψαν τῷ Προφητῶν, καὶ χοροὶ τῶν Ἀποστόλων, τῷ κόσμῳ ἐκήρυξαν, καὶ Μαρτύρων νέφη τῶν κλεινῶν, τρανῶς τῇ οἰκουμένῃ, καθωμολόγησαν Ἄχραντε.

*Ὠιδὴ ΣΤ´ Τὸν προφήτην Ἰωνᾶν.*

Ἀγωνίσμασι λαμπροῖς, τὸν ἀόρατον ἐχθρόν, καταβέβληκας σοφέ, καὶ ἀνέπτης πρὸς Θεόν, Προκόπιε, στεφανηφόρος εἰς τὰ οὐράνια.

Θυρεῷ τῷ τοῦ σταυροῦ, περιφράξας σεαυτόν, τὰς ἐφόδους εὐσθενῶς, ἀπεκρούσω τῶν ἐχθρῶν, καὶ ἤγειρας, τρόπαια νίκης ἀξιοθαύμαστε.

Λαμπροφόρος ἀθλητά, ἐξανέτειλας φωστήρ, ἐξ ἑώας καὶ πιστῶν κατεφαίδρυνας ψυχάς, τοῖς ἄθλοις σου, τροπαιοφόρε θεῖε Προκόπιε.

*Θεοτοκίον.*

Ἱερᾶς ἀποπεσών, παναφρόνως βιοτῆς, ὡς ὁ ἄσωτος τὸ πρίν, φιλευσπλάγχνως με Ἁγνή, ἐξέγειρον, ὅπως ὑμνῶ σε διασωζόμενος.

*Ὠιδὴ Ζ΄ Ἡ κάμινος Σωτήρ.*

Ἡδεία τῷ Κυρίῳ προσήνεξαι, πυρὶ ὁλοκαυτούμενος ἅγιε, ὡς προσφορὰ Προκόπιε, ἀναμέλπων νικητήρια.

Τοῖς ὄνυξι τὸ σῶμα ξεόμενος, πυρὶ τε φλογιζόμενος ἔκραζες, εὐλογητὸς εἶ Κύριε ὁ Θεὸς τῶν Πατέρων ἡμῶν.

Ἠλόγησας θεόφρον Προκόπιε, δεινῶν πᾶσαν ἰδέαν κολάσεων, καὶ πρὸς Θεὸν ἀνέδραμες, τῇ ἐκτομῇ τῆς θείας κάρας σου.

*Θεοτοκίον.*

Ὡς Μήτηρ τοῦ ἐλέους ὑπάρχουσα, ἐλέους καταξίωσον δέομαι, Παρθένε με τὸν ἄθλιον, ὅπως ὑμνῶ τὴν δυναστείαν σου.

*Ὠιδὴ Η΄ Ὃν φρίττουσιν ἄγγελοι.*

Νεάζων τῷ σώματι, πανένδοξε στερρῷ παρέστης τῷ βήματι, ἀνόμων τῷ ποδί, τυράννων εὐθαρσῶς ὠμῶν ἐξελέγχων, εἰδωλομανίαν, Προκόπιε τρισμάκαρ.

Ἀθλήσας μακάριε Προκόπιε Χριστός, στεφάνοις ἐκόσμησέ σε ἐν τοῖς οὐρανοῖς, ὃν πρέσβευε ἀεί, ὑπὲρ τῶν σὲ ὑμνούντων, πόθῳ λυτρωθῆναι, κακώσεων παντοίων.

Ναῷ τῷ ἁγίῳ σου προστρέχοντες πιστῶς, Προκόπιε ἔνδοξε, αἰτούμεθα τὴν σήν, θερμὴν προστασίαν, ἐν ἀνάγκαις δειναῖς, ἡμῶν ἀθλοφόρε, τῶν πόθῳ σε ὑμνούντων.

*Θεοτοκίον.*

Νοσοῦσαν θεόνυμφε, χρονίως τὴν οἰκτράν, ψυχή μου θεράπευσον, τὸν πάντων ἰατρόν, ἀσπόρως ἐν μήτρᾳ σχοῦσα τοῦτον Ἁγνή, καὶ ἀποτεκοῦσα Παρθένε παναφθόρως.

*Ὠιδὴ Θ΄ Τὴν φωτοφόρον νεφέλην.*

Ὑπερεκλάμπουσα μάρτυς, τῶν σῶν ἀγώνων ἡ μνήμη, φαιδραῖς ἀκτῖσι τὰς ψυχάς, ἡμῶν ὤφθη καὶ πόθῳ, ἐν ὑμνῳδίαις ἱεραῖς, κροτοῦντες καὶ ᾄσμασι γεραίρομεν, κορυφήν σου τὴν θείαν, καὶ ἁγίαν τοῦ Χριστοῦ τρισαριστεῦ.

Μετὰ μαρτύρων τῷ Κτίστῃ, καὶ Ἀποστόλων τρισμάκαρ, καὶ Προφητῶν σὺν τοῖς χοροῖς, καὶ Ὁσίων τοῖς δήμοις, ὡς παριστάμενος ἀεί, Προκόπιε ἔνδοξε ἱκέτευε, τοῦτον δοῦναι πταισμάτων, τοῖς ὑμνοῦσί σε ἀπαύστως ἱλασμόν.

Νενοσηκότα με μάρτυς, ὡς ἐκ παιδὸς ἀνιάτως, σώματι ἅμα καὶ ψυχῇ, σοὶ προστρέχοντα πόθῳ, καὶ ἀνυμνοῦντα ἐμμελῶς, τρισένδοξε ἅγις Προκόπιε, ταῖς εὐχαῖς σου με δίδου, ἰαθῆναι ἀθλητὰ ἐπιτυχεῖν.

Ὡς τῶν μαρτύρων ἀλείπτης, καὶ ἰατρὸς τῶν νοσούντων, καὶ πενομένων ὁ τροφεύς, καὶ χαρὰ τῶν πενθούντων, καὶ τοῦ Χριστοῦ πανευκλεής, γενναῖος ὁπλίτης παμμακάριστε, βοηθῆσαί με πρόσχες, δεομένῳ σοι Προκόπιε πιστῶς.

*Θεοτοκίον.*

Μετ᾽ εὐφροσύνης Παρθένε, σοὶ προσφωνοῦμεν τὸ Χαῖρε, τοῦ Ἀρχαγγέλου Γαβριήλ, οἱ τὸ Ὄρος οἰκοῦντες, τὸ ἁγιώνυμον ἀεί, καὶ πίστει οἱ δοῦλοί σου δεόμεθα, διαφύλαττε τοῦτο, ἐξ ἐχθρῶν ἐπεμβαινόντων ἀπειλῆς.

*Προσόμοια.*

*Τῶν οὐρανίων ταγμάτων. Ἦχος α΄.*

Σὲ ἀστραπῇ οὐρανίῳ μάκαρ Προκόπιε, καθάπερ πρὶν τὸν Παῦλον, ὁ Χριστὸς καταυγάζει, αὐτοῦ πρὸς τὴν ἐπίγνωσίν σε καλῶν, ὥσπερ σκεῦος πανένδοξε, τῆς ἐκλογῆς



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

καὶ μαρτύρων θείου χοροῦ, στεφηφόρον προεξάρχοντα.

Ἐν τῷ σταδίῳ Προκόπιε καταβέβληκας, τῶν ὠμοτάτων θράσος, καὶ ἀπίστων τυράννων, Χριστὸν ἀνακηρύττων Δημιουργόν, τὸν ἁπάντων καὶ Κύριον, καὶ τῷ πυρὶ καὶ τῷ ξίφει προσομιλῶν, στεφανίτης ἀναδέδειξαι.

Ἐν οὐρανοῖς μετ' Ἀγγέλων νῦν αὐλιζόμενος, καὶ τῶν ἁγίων πάντων, τοῖς χοροῖς ἀθλοφόρε, ἱκέτευε ἀπαύστως ὑπὲρ ἡμῶν, τῶν πιστῶς δεομένων σου, τὸν πανοικτίρμονα Κύριον πειρασμῶν, ἐκλυτρῶσαι τοὺς ὑμνοῦντάς σε.

Τοῦ Ἀρχαγγέλου τὸ Χαῖρε θεοχαρίτωτε, ἐνωτισθεῖσα πᾶσαν, τὴν περίγειον κτίσιν, καὶ τῶν ὑπερκοσμίων τὰς νοερᾶς, τάξεις Κόρη ἐνέπλησας χαρᾶς ἀφάτου καὶ δόξης καὶ τοῖς βροτοῖς, εἰς Ἐδὲμ τὴν ἐπανάκλησιν.



ΑΘΩΝΙΚΗ
ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ